αὐτοῦ ἐπὶ πορθήσει τῆς Ἑλλάδος, περὶ τὴν Ἰωνίαν ἐν Μαγνησίᾳ γενόμενος, θύων ὡς εἴρηται ἄνω τελευτᾷ. καὶ μετὰ θάνατον, τὸν μισοβάρβαρον ἐνδεικνύμενος τρόπον. λοιμωξάντων δὲ Ἀθηναίων, ὁ θεὸς εἶπε μετάγειν τὰ ὀστέα Θεμιστοκλέους. Μαγνήτων δὲ μὴ συγχωρούντων, ᾐτήσαντο ἐπὶ τεσσαράκοντα ἡμέραις ἐναγίσαι τῷ τάφῳ. καὶ περισκηνώσαντες τὸ χωρίον, λάθρα κομίζουσιν ἀνορύξαντες τὰ ὀστᾶ. σύμμαχος δὲ φησὶ ψεύδεσθαι περὶ Θεμιστοκλέους. οὔτε γὰρ Ἡρόδοτος οὔτε Θουκυδίδης ἱστορεῖ. ἔστι γὰρ ἀπὸ Σοφοκλέους Ἑλένης. ἐμοὶ δὲ λῷστον αἷμα ταύρου γ' ἐκπιεῖν. καὶ μή γε πλείω τῶν δ' ἔχειν δυσφημίας. τινὲς δέ φασιν ὅτι Σοφοκλῆς περὶ Θεμιστοκλέους τοιοῦτό φησι. ψεύδονται δὲ, οὐ γάρ ἐστι πιθανόν.

Δημ. Μὰ Δί', ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαί-
μονος.
Ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.
Νι. Ἰδού γ' ἄκρατον. περὶ ποτοῦ γοῦν ἐστί σοι;
Πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀ-
νήρ;
Δη. Ἀληθες οὗτος; κρουνοχυτρολήραιον εἶ.
Οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν;
Οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
Ὁρᾷς, ὅταν πίνωσιν ἄνθρωποι, τότε
Πλουτοῦσι, διαπράττουσι, νικῶσι δίκας,
Εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
Ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ.
Τὸν νοῦν ἵν' ἄρδω, καὶ λέγω τι δεξιόν.
Νι. Οἴμοι τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ ποτῷ;
Δη. Ἀγαθ'. ἀλλ' ἔνεγκ'. ἐγὼ δὲ κατακλινήσο-
μαι.
Ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπά-
σω,
Βουλευματίων, καὶ γνωμιδίων, καὶ νοϊδίων.

*DE. Non per Iouem: sed fortunæ bonæ merum*
*Meracum: an sic consultemus aliquid vtile.*
*NI. Vide meracum: ergon' de potu agitur tibi?*
*At quid queat ebrius consultare vtile?*
*DE. Certè omnino vtile, tu homo nugacissime.*
*Quid? túne vinum audes calumniarier:*
*Quasi ad consultandum nihil afferat boni?*
*An vino aliquid reperias ad agendum aptius?*
*Viden' quando bibunt vinum homines, ibi admodum*
*Ditescunt, causas vincunt, lites obtinent,*
*Beati fiunt, & iam amicis commodant.*
*Age effer huc mihi vini veteris congium,*
*Vt irrigem mentem, & dicam aliquid vtile.*
*NI. Hei mihi, quid acturus es hîc cum potu tuo?*
*DE. Bene agam: effer tu modò, ego decumbam paululum:*
*Nam inebriatus, spargam vndique ratiunculas,*
*Sententiolas, & consultatiunculas.*

Σχόλια. Ἀγαθοῦ δαίμονος] αἰρομένης τῆς τραπέζης μετὰ τὸ δεῖπνον, ἄκρατον περιεφέρετο, καὶ ἐκαλεῖτο ἡ κρᾶσις ἀγαθοῦ δαίμονος. ἄλλως. τὸ πρῶτον ποτήριον ἀγαθοῦ δαίμονος ἔπινον. εὐφημεῖ δὲ τὸν Διόνυσον, ὡς πάτριον θεόν. ἐπεὶ καὶ ἐν τῇ Διονύσου ἑορτῇ, τουτέστι τοῖς Διονυσίοις, ἠγωνίζοντο οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί.

Bisetvs. Πῶς δ' ἂν μεθύων.] τοῦτο μέντοι πάλαι ἐποίουν οἱ Πέρσαι, ὡς Ἡρόδοτος λέγει. καὶ γὰρ ἐν τῇ Κλειοῖ ταῦτα περὶ τούτων γράφει. Μεθυσκόμενοι δὲ εἰώθασι βουλεύεσθαι τὰ σπουδαιότατα τῶν πρηγμάτων, τὸ δ' ἂν ἅδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται. καὶ ἢν μὲν ἅδῃ καὶ νήφουσι, χρέωνται αὐτέῳ. ἢν δὲ μὴ ἅδῃ, μετιεῖσι. τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι.

Σχόλια. Ἀληθες οὗτος.] προπαροξυτόνως ἀναγνωστέον. αὕτη γὰρ χρῆσις τῶν Ἀττικῶν. ὅτε σημαίνει τὸ ἀληθές. ὅτε δὲ ὀξύνεται τὸ ὄνομα.

Bisetvs. Τὸ πρᾶγμα δηλοῖ τὸ τῆς ἀληθείας μετέχον. οὕτω γὰρ χαρίεν πρὸς τὴν τῆς γνώμης ὁλοκληρίαν. τοῦτο δὲ δῆλον ἐν ταῖς Νεφέλαις.

Σχόλια. Κρουνοχυτρολήραιον.] ἀντὶ τοῦ φλύαρος εἶ. κρουνὸς, τὸ χύδην καὶ ἀκρίτως καὶ ἀθρόως ῥέον. λῆρον δὲ τὸ μάταιον. συνέθηκεν οὖν ἐκ τοῦ κρουνοῦ καὶ ληρεῖν, καὶ τῆς χύτρας ἀναισθήτου οὔσης. ἵνα τὸ ὅλον δηλώσῃ τὸ ἀναίσθητον καὶ ἀνόητον καὶ περιττολόγον. Οἴνου γὰρ εὕροις ἄν τι.] Ὁμηρικὸν τὸ νόημα. ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα οἶνος ἀέξει. Ἡρόδοτος δὲ τοὺς Πέρσας τοῦτον τὸν τρόπον βουλεύεσθαί φησιν. εἰ μὲν οὖν εἰσηγήσαντό τινες νήφοντες, βουλεύεσθαί τι περὶ τούτων ἐν μέθῃ καὶ κυροῦν. νήφοντες δὲ, ἐπικυροῦν. φησὶν οὖν Ἡρόδοτος μέλλοντας τοὺς Πέρσας βουλεύεσθαι μεθύειν. Ὁρᾷς ὅταν πίνωσιν.] ὅρα τὸν Ἀριστοφάνην. ἀρχόμενον γὰρ σκώμματος, μεθύσκεσθαι, ἵνα μὴ νήφων δειλιάσῃ κωμῳδεῖν μεγάλους ἄνδρας. Οἴνου χοᾶ] χοῦς μέτρον Ἀττικὸν χωροῦν κοτύλας ή. ἔστι δὲ καὶ ἑορτὴ Ἀθήνησι. κέκληται δὲ, ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης διὰ τὴν τῆς μητρὸς ἀναίρεσιν ἧκεν εἰς Ἀθήνας παρὰ τὸν Πανδίονα συγγενῆ καθεστηκότα, ὃς ἔτυχε τότε βασιλεύων τῶν Ἀθηναίων, καὶ αὐτὸν κατέλαβεν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν Πανδίων παραπέμψασθαι τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγησάμενος μὴ καθαρθέντος αὐτοῦ τῶν φόνων, ὡς ἂν μὴ ἀπὸ κρατῆρος πίνοιεν, ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοῦν. Καταπάσω.] πληρώσω. Καὶ νοϊδίων.] λεπτῶν καὶ μεμεριστμένων. οὐ γὰρ ὑποκοριστικῶς εἴρηκεν. ἄλλως. διανοημάτων. παρήγαγεν ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ νοῖ, τὸ νοΐδιον ὑποκοριστικόν. τινὲς δὲ ὀνειδισμὸν καὶ λοιδορειῶν ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης κακῶς.

Bisetvs. Νικίας οἴκοθεν ἐπανελθὼν οἶνον φέρει. τοῦτον Δημοσθένης παραλαβὼν, καὶ τοῦ Κλέωνος καθεύδοντος καὶ ῥέγκοντος μέθην μαθὼν, τὸν Νικίαν πρὸς τὸν δεσπότην πάλιν χωρεῖν κελεύει, ὅπως κλέπτῃ τὰς σανίδας, καὶ τὰ βιβλία, ἐν οἷς τὰ κρύφια, καὶ λαθραῖα αὐτοῦ βουλεύματα ἦσαν γεγραμμένα. Νικίας τὸ προσταχθὲν ταχέως, καὶ ἐπιδεξίως ποιεῖ, καὶ πρὸς Δημοσθένην ἐπαναστρέψας τὸ κλέμμα προφέρει, καὶ πᾶσι δηλοῖ τὸν χρησμὸν οἴκοι καταληφθέντα περί τινος Ἀλλαντοπώλου, ὃς τὸν Κλέωνα διαφθείρας, καὶ ἀπολέσας τῆς πόλεως προστατήσει.

Νι. Ὡς εὐτυχῶς, ὅτ' οὐκ ἐλήφθην ἔνδοθεν,

*NI. Qvàm prosperè euenit, quòd intus non fui*